12 [12]Καὶ εἶπεν κύριος πρὸς Μωυσῆν Ἀνάβηθι εἰς τὸ ὄρος τὸ ἐν
τῷ πέραν (τοῦτο ὄρος Ναβαυ) καὶ ἰδὲ τὴν γῆν Χανααν, ἣν
13 ἐγὼ δίδωμι τοῖς υἱοῖς Ισραηλ ἐν κατασχέσει· [13]καὶ ὄψει αὐτὴν καὶ
προστεθήσῃ πρὸς τὸν λαόν σου καὶ σύ, καθὰ προσετέθη Ααρων
14 ὁ ἀδελφός σου ἐν Ωρ τῷ ὄρει, [14]διότι παρέβητε τὸ ῥῆμά μου ἐν
τῇ ἐρήμῳ Σιν ἐν τῷ ἀντιπίπτειν τὴν συναγωγὴν ἁγιάσαι με· οὐχ
ἡγιάσατέ με ἐπὶ τῷ ὕδατι ἔναντι αὐτῶν (τοῦτό ἐστιν ὕδωρ ἀντι-
15 λογίας Καδης ἐν τῇ ἐρήμῳ Σιν). [15]καὶ εἶπεν Μωυσῆς πρὸς κύριον
16 [16]Ἐπισκεψάσθω κύριος ὁ θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς
17 ἄνθρωπον ἐπὶ τῆς συναγωγῆς ταύτης, [17]ὅστις ἐξελεύσεται πρὸ
προσώπου αὐτῶν καὶ ὅστις εἰσελεύσεται πρὸ προσώπου αὐτῶν
καὶ ὅστις ἐξάξει αὐτοὺς καὶ ὅστις εἰσάξει αὐτούς, καὶ οὐκ ἔσται
18 ἡ συναγωγὴ κυρίου ὡσεὶ πρόβατα, οἷς οὐκ ἔστιν ποιμήν. [18]καὶ
ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων Λαβὲ πρὸς σεαυτὸν τὸν
Ἰησοῦν υἱὸν Ναυη, ἄνθρωπον, ὃς ἔχει πνεῦμα ἐν ἑαυτῷ, καὶ ἐπι-
19 θήσεις τὰς χεῖράς σου ἐπ᾽ αὐτὸν [19]καὶ στήσεις αὐτὸν ἔναντι Ελε-
αζαρ τοῦ ἱερέως καὶ ἐντελῇ αὐτῷ ἔναντι πάσης συναγωγῆς καὶ
20 ἐντελῇ περὶ αὐτοῦ ἐναντίον αὐτῶν [20]καὶ δώσεις τῆς δόξης σου
21 ἐπ᾽ αὐτόν, ὅπως ἂν εἰσακούσωσιν αὐτοῦ οἱ υἱοὶ Ισραηλ. [21]καὶ
ἔναντι Ελεαζαρ τοῦ ἱερέως στήσεται, καὶ ἐπερωτήσουσιν αὐτὸν
τὴν κρίσιν τῶν δήλων ἔναντι κυρίου· ἐπὶ τῷ στόματι αὐτοῦ ἐξε-
λεύσονται καὶ ἐπὶ τῷ στόματι αὐτοῦ εἰσελεύσονται αὐτὸς καὶ οἱ
22 υἱοὶ Ισραηλ ὁμοθυμαδὸν καὶ πᾶσα ἡ συναγωγή. [22]καὶ ἐποίησεν
Μωυσῆς καθὰ ἐνετείλατο αὐτῷ κύριος, καὶ λαβὼν τὸν Ἰησοῦν
ἔστησεν αὐτὸν ἐναντίον Ελεαζαρ τοῦ ἱερέως καὶ ἔναντι πάσης
23 συναγωγῆς [23]καὶ ἐπέθηκεν τὰς χεῖρας αὐτοῦ ἐπ᾽ αὐτὸν καὶ συνέ-
στησεν αὐτόν, καθάπερ συνέταξεν κύριος τῷ Μωυσῇ.
28 [1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [2]Ἔντειλαι τοῖς υἱοῖς
Ισραηλ καὶ ἐρεῖς πρὸς αὐτοὺς λέγων Τὰ δῶρά μου δόματά μου
καρπώματά μου εἰς ὀσμὴν εὐωδίας διατηρήσετε προσφέρειν ἐμοὶ
3 ἐν ταῖς ἑορταῖς μου. [3]καὶ ἐρεῖς πρὸς αὐτούς Ταῦτα τὰ καρπώματα,
ὅσα προσάξετε κυρίῳ· ἀμνοὺς ἐνιαυσίους ἀμώμους δύο τὴν ἡμέ-
4 ραν εἰς ὁλοκαύτωσιν ἐνδελεχῶς, [4]τὸν ἀμνὸν τὸν ἕνα ποιήσεις τὸ
5 πρωὶ καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ πρὸς ἑσπέραν· [5]καὶ
ποιήσεις τὸ δέκατον τοῦ οιφι σεμίδαλιν εἰς θυσίαν ἀναπεποιημέ-
6 νην ἐν ἐλαίῳ ἐν τετάρτῳ τοῦ ιν. [6]ὁλοκαύτωμα ἐνδελεχισμοῦ, ἡ
7 γενομένη ἐν τῷ ὄρει Σινα εἰς ὀσμὴν εὐωδίας κυρίῳ· [7]καὶ σπονδὴν

12 ορος $2^0$] pr. το B* || 13 ωρ] pr. τω B*† || 14 σιν $1^0$] σινα A | αγιασαι] pr. του A | εναντιον A | τουτο] + δε A† | υδωρ] pr. το A | καδης] pr. εν B† || 17 ωσει] ως A || 19 εναντι $2^0$] -τιον A | εντελη $2^0$] εντειλαι A || 20 οι > A || 22 εναντιον] -τι A | εναντι] -τιον ABc

28 2 διατηρησατε A || 4 ποιησεις bis] -σεται(pro -τε) A || 7 σπονδην $1^0$] -δη A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/318 UNIVERSITÄT LEIPZIG